ρεῖαν πόλιν ὀρνύμενοι
Τρώων ἀόλλιζον φάλαγγας
Γ' δεξίστρατον εἰς ἀγοράν.
πάντᾱι δὲ διέδ|ραμεν αὐδάεις λόγος·
θεοῖς δ' ἀνίσχοντες χέρας ἀθανάτοις
εὔχοντο παύσασθαι δυᾶν.
Μοῦσα, τίς πρῶτος λόγων ἆρχεν δικαίων;
Πλεισθενίδας Μενέλαος γάρυϊ θελξιεπεῖ
φθέγξατ', εὐπέπ|λοισι κοινώσας Χάρισσιν·
„ὦ Τρῶες ἀρηΐφιλοι,
Ζεὺς ὑψ⌊ιμέδων ὃ⌋ς ἅπαντα δέρκεται
οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων,
ἀλλ' ἐν ⌊μέσ⌋ωι κεῖται κιχεῖν
πᾶσιν ἀνθρώποις Δίκαν ἰθεῖαν, ἁγ|νᾶς
Εὐνομίας ἀκόλουθον καὶ πινυτᾶς Θέμιτος·
ὀλβίων π⌊αῖδές⌋ νιν αἱρεῦνται σύνοικον.
ἁ δ' αἰόλοις κέρδεσσι καὶ ἀφ|ροσύναις
ἐξαισίοις θάλλουσ' ἀθαμβὴς
Ὕβ|ρις, ἃ πλοῦτον δύναμίν τε θοῶς
ἀλλότ|ριον ὤπασεν, αὖτις
δ' ἐς βαθὺν πέμπει φθόρον,
κε]ίνα καὶ ὑπερφιάλους
Γᾶς] παῖδας ὤλεσσεν Γίγαντας."